**ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον**

– ⏑ – ⏓ – ⏑ ⏑ –

**1.** Tzetz. *de metr. Pind.* 104. 7 sqq.
καὶ ἐπιχοριαμβικὸν τὸ δεύτερόν μοι μάθε
δίμετρον ἀκατάληκτον τροχαίων ἀρχομένων.
ἐχθρόν δε τὸ τροχαικὸν ἔστι τοῖς χοριάμβοις,
ὅθεν κατ᾽ ἀντιπάθειαν καλοῦνται τὰ τοιαῦτα.
τροχαικά χορίαμβοι
– ⏑ – – – ⏑ ⏑ ⏓

Tzetz. *de metr. Pind.* 121. 1 sqq.
τὸ τρίτον ὀκτωσύλλαβον δίμετρον ἐκ τροχαίων
καὶ ἐπιχοριαμβικὸν καὶ ἀκατάληκτόν τι,
ἐνδέον καὶ τοῦ σαπφικοῦ τρισὶ ταῖς συλλαβαῖς δε·
ἐλλείπει ἡ κατάκλεις γὰρ, ἴαμβος συλλαβή τε.
εἴπαμεν γὰρ τὸ σαπφικὸν ἔκ τε τροχαίων πέλειν
δευτέρου χοριάμβου τε, ἰάμβου συλλαβῆς τε,
ὡς ὂν ἑνδεκασύλλαβον τοῦτο τὸ κῶλον ὅλον.
ἐνταῦθα δὲ τροχαικὴ ὑπάρχει συζυγία,
χορίαμβος ὁ δεύτερος, ἡ δὲ κατάκλεις λείπει.
τροχαική χορίαμβος
– ⏑ – – – ⏑ ⏑ ⏓

Anon. Vat. 57. 12 sqq. Tessier (Pind. *Ol.* 8. 1)
– ⏑. – –. – ⏑ ⏑ –
μᾶτερ ὦ χρυσοστεφάνων·
ἐπιχοριαμβικὸν· δίμετρον ἀκατάληκτον.

Anon. Vat. 57. 15 sqq. Tessier (Pind. *Ol.* 12. 2)
– ⏑. – –. – ⏑ ⏑ –
ἱμέρα εὐρυσθενέ᾽ ἀμ᾽·
ὅμοιον (*scil.* ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον).

Anon. Vat. 57. 18 sqq. Tessier (Pind. *Ol.* 13. 6 sq.)
– ⏑. – ⏑. – ⏑ ⏑ ⏓.
ἀσφαλὴς δίκα καὶ ὁμο·
ὅμοιον (*scil.* ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον) τῆς τελευταίας συλλαβῆς βραχέας οὔσης κατὰ τὸ ἀδιάφορον τῆς καταλήξεως.

Anon. Vat. 57. 23 sqq. Tessier (Pind. *Ol.* 13. 8)
– ⏑. – –. – ⏑ ⏑ ⏓.
παῖδες εὐβούλου θέμιτος·
ἐπιχοριαμβικὸν· ὅμοιον (*scil.* δίμετρον ἀκατάληκτον).

Schol. vet. in Pind. *Ol.* 12 (p. 10. 19 Tessier) τὸ β′ ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον.

Schol. rec. in Pind. *Ol.* 12 (p. 375. 11 sq. Abel) τὸ β′ ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἐκ τροχαικῆς συζυγίας καὶ χοριάμβου.

Schol. rec. in Pind. *Pyth.* 1 (p. 429. 9 sqq. Abel) τὸ γʹ ὀκτωσύλλαβον σαπφικόν, δίμετρον ἀκατάληκτον ἐκ τροχαικῆς συζυγίας καὶ χοριάμβου· καὶ ἔστιν ἐπιχοριαμβικόν.

Schol. vet. in Pind. *Pyth.* 2 (p. 15. 18 sq. Tessier) τὸ ιβʹ δίμετρον ἐπιχοριαμβικὸν ἀκατάληκτον.

Schol. vet. in Pind. *Pyth.* 3 (p. 16. 18 sq. Tessier) τὸ γʹ ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον.

Schol. rec. in Pind. *Pyth.* 3 (p. 169. 7 sq. Irigoin) τὸ γʹ ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ τροχαικῆς συζυγίας καὶ χοριάμβου, ἢ προσοδιακόν.

Schol. vet. in Pind. *Pyth.* 9 (p. 19. 25 sq. Tessier) τὸ ςʹ δίμετρον ἐπιχοριαμβικὸν ἀκατάληκτον … (p. 20. 9 sq.) τὸ εʹ ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον … (p. 20. 11 sq.) τὸ ηʹ ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον.

Schol. vet. in Pind. *Nem.* 4 (p. 23. 11 sq. Tessier) τὸ ηʹ ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον ... (p. 23. 12 sq. Tessier) τὸ ιʹ τροχαικὸν ἐπίτριτον, ἢ ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον ... (p. 23. 18 sq. Tessier) τὸ ηʹ, … τὸ ιʹ ... ὁμοίως τῇ στροφῇ καὶ ἀντιστρόφῳ.

Schol. vet. in Pind. *Nem.* 10 (p. 27. 10 Tessier) τὸ αʹ ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον ... (p. 27. 11 Tessier) τὸ γʹ ὅμοιον τῷ αʹ τῆς ἐπῳδοῦ.

Schol. vet. in Pind. *Nem.* 11 (p. 28. 3 Tessier) τὸ ςʹ ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον.

Schol. Tricl. in Soph. *Ant.* 100a (p. 71. 19 sq. Tessier) τὸ θʹ, ὅμοιον (*scil.* ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον)· ἐκ διτροχαίου καὶ χοριάμβου.

– ⏑ ⏑ – – ⏑ – ⏓

**2.** Schol. vet. in Pind. *Pyth.* 10 (p. 20. 20 sq. Tessier) τὸ ςʹ δίμετρον ἐπιχοριαμβικὸν ἀκατάληκτον.

⏑ ⏑ ⏑ – – ⏑ ⏑ –

**3.** Schol. Tricl. in Soph. *Oed. tyr.* 1186 (p. 66. 20 sq. Tessier) τὸ λγʹ, ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον· ἐκ παίωνος δʹ καὶ χοριάμβου.

Schol. rec. in Aristoph. *ran.* 241-250b. 5 sq. (p. 46 Chantry) τὸ εʹ (v. 245) ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ παιῶνος τετάρτου καὶ χοριάμβου.

⏓ – ⏑ – – ⏑ ⏑ –

**4.** Schol. Tricl. in Eur. *Or.* 1381-1392a (p. 75 de Faveri) τὸ ηʹ ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἐκ διιάμβου καὶ χοριάμβου.

Schol. in Aristoph. *ran.* 440 (p. 289a. 21 sqq. Dübner) τὸ πέμπτον καὶ ἕβδομον ἐπιχοριαμβικὰ δίμετρα ἀκατάληκτα ἐκ διιάμβου, ἢ ἐπιτρίτου τρίτου, καὶ χοριάμβου.

Schol. rec. in Aristoph. *ran.* 440-459b. 7 sq. (p. 88 Chantry) τὸ εʹ (v. 444) ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον ... τὸ ζʹ (v. 446) ὅμοιον τῷ εʹ.

– ⏑⏑ – ⏓ – ⏑ ⏑ –

**5.** Schol. Tricl. in Soph. *Ant*. 100a (p. 71. 18 sq. Tessier) τὸ η′, ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον· ἐξ ἐπιτρίτου δ′· ἢ δισπονδείου· καὶ χοριάμβου.

Schol. Tricl. in Eur. *Hec*. 466-474a (p. 26 de Faveri) τὸ θ′ ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἐπιτρίτου δ′· εἰ δὲ βούλει, δισπονδείου, καὶ χοριάμβου. ἔχει δὲ τὸ τῆς ἀντιστροφῆς κῶλον τὸν α′ πόδα πεντασύλλαβον.

Schol. Tricl. in Eur. *Or*. 831-843a (p. 60 de Faveri) τὸ ι′ ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἐπιτρίτου β′ πεντασυλλάβου καὶ χοριάμβου.

Schol. rec. in Aristoph. *ran*. 1331-1340. 1 sqq. (p. 224 Chantry) ἡ περίοδος δὲ τοῦ πρώτου συστήματος κώλων ἐστὶ χοριαμβικῶν, <ἰωνικῶν LvMt>, δακτυλικῶν, ἀναπαιστικῶν, ἐπιμεμιγμένων διιάμβοις, χορείοις καὶ δακτύλοις ιδ′, ὧν τὸ α′· (v. 1331)

ὦ νυκτὸς κελαινοφαὴς

ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον. VatLvMt [*L.S.*]